C. Bl. IV. 103.

12

12

# ΣΧΕΔΙΑΣΜΑ ΓΕΝΕΘΛΙΑΚΟΝ

περὶ τῶν

# ΑΦΘΑΡΤΟΔΟΚΗ-
# ΤΩΝ

ἐν τῇ Παλαικώμῃ, πέμπτῃ μεσοῦντος τοῦ ποσειδεῶνος, ἔτει

θεογονίας, αψϛ

ἐκ παραλλήλου συζητηθήσεται,

προεστάτου

τοῦ

## ΧΡΙΣΤΟΦΟΡΟΥ ΣΩΝΝΤΑΓΙΟΥ,

τῆς Θεολογίας τε καὶ Ἑλληνικῆς γλώτ‍της

Διδασκάλου καὶ Πρωτεκκλησιαστοῦ,

καὶ θεσιοφύλακος Αὐθέντου

τοῦ

## ΓΟΔΟΦΡΗΔΟΥ ΕΓΓΕΛΑΡΔΟΥ ΓΕΙΓΗΡΟΥ,

τῆς Φιλοσοφίας Ἐπιστάτου, καὶ περὶ τὴν θεολογίαν

φιλοπονοῦντος.

---

Τύποις τοῦ Ἰωδώκου Γυλιέλμου Κωλεσίου

τοῦ μολυβδογράφου.

11

1706.

Universitäts-
München
Bibliothek

α.

Ἐπὶ τὰς εὐεργεσίας ἀναριθμήτους, διὰ τοῦ θεοῦ εἰς τοὺς αἰῶνας εὐλογητοῦ Ἰησοῦ χριστοῦ σωτῆρος ἡμῶν παρειλημμένας, τῷ ἐγγίζοντι αὐτοῦ γεννητῆς ἔγωγε μὲν δὴ παρακληθεὶς χρόνῳ μέμνημαι ὑπερμεγέθους τῆς ἁμαρτίας αὐτῶν, ὅιτινες ἐκ παλαιοῦ τῆς ἐνανθρωπήσεως καὶ παντὸς τοῦ παθήματος μυστήριον θαυμαστὸν ὅσον ἠλάττωσαν, διδάσκοντες, ἁγιώτατον θεοῦ υἱὸν οὐκ ἐπιδεδέχθαι σάρκα τῇ ἡμετέρᾳ ὁμοούσιον, ἀλλ᾽ ἀπαθῆ καὶ ἄφθαρτον. Διὰ τοῦτο, βοηθείᾳ τῇ Θεόφιν θαῤῥήσας, κατ᾽ ὀλίγον μου, ἐνόμισα οὐδὲν περιεργιαίτερον τοῦ περὶ τούτων ψευδοδιδασκάλων βραχέως τῇ ἐλλήνων φωνῇ διαλογίζεσθαι.

β.

Τῶν δὲ ἑτεροδόξων καὶ χριστομάχων οἱ φιλοτοιοῦτοι ἀπὸ τῶν γεραιῶν Εκκλητίας πατέρων, τῶν νῦν ἐν ἁγίοις, ἐλέγοντο ἐπὶ τῷ

παραπτώματι αὐτῶν οὐ μόνον ἀγράφῳ, ἀλλὰ καὶ ἀντιγράφῳ, Ἀφθαρτοδοκῆται, ἐπειδὴ ἐδόκησαν, Χριστὸν ἐν σαρκὶ αὐτοῦ θεσπεσίῳ οὐδεμιᾶς αἰσθήσασθαι ἀσθενείας ἀληθεῖ λόγῳ, ἀλλὰ δοκήσει πεπονθέναι.

γ.

Ο Νικηφόρος, ὁ μετὰ σπουδῆς τούτους ἱστορήσας, διηγεῖται, αὐτοὺς πεφυκέναι καὶ βεβιοτευκέναι ἔτει Θεανδρικῆς ἐπιφοιτήσεως πεντακοσιοστῷ καὶ τριακοστῷ πέμπτῳ, ὑπὸ Κυβερνήσεως Ἰουστινιανοῦ, πρώτου ὀνόματος τούτου Καίσαρος Ῥωμαίων, καὶ ἐν ταῖς ἡμέραις Φήλικος, τετάρτου ἀρχιεράρχου αὐτῶν. Ου μὴν ἀλλὰ τὰ τῆς ἱστορίας ἐκκλησιαστικῆς μνήματα ἀνελίττοντες ἐκληψόμεθα, ὅτι μὴ τοιοῦτοι πρότερον οὕτως ὀνειρώδεις ἔτυχον· ἀλλὰ καὶ Μανιχαῖοι καὶ Ακουανῖται, οἱ τοῦ Μάνη Μαθηταὶ τοῦ πέρσου, τῶν Ἀφθαρτοδοκητῶν ἔτεσι διακοσίοις καὶ πλείοσι μείζονες. Μαρτυρεῖ τοῦτο ὁ ἅγιος Επιφάνιος ἐν ἀνακεφαλαιώσει. Μᾶλλον δὲ ὁ εὐκλεέστατος ὁ Γέῤῥαρδος ἐν ἐξηγήσεως σελίδι τεσσαρακοσιοστῇ καὶ τριακοστῇ δευτέρᾳ διδάσκει, εὐθὺς ἐκ χρόνου τῶν Ἀποστόλων πολλοὺς φανταστικοὺς τοῦ Χριστοῦ ἀληθῆ ἀνθρωπότητα ἀναστατῶσαι, ἐν τῷ λέγειν αὐτὸν οὐκ ὄντως τὴν φύσιν ἀνθρωπίνην, ἀλλὰ φάντασμά τι καὶ σχῆμα τοῦ σώματος ἐξωτερικὸν προσλεληφέναι· ὧνγε σφάλματα δύσφημα ἔπειτα ἀνακεκαίνωται ἀπὸ τῶν Μανιχαίων.

δ.

Τῶν δὲ ὑπερασπιστῶν τῆς ἀβελτερίας ταύτης ὀνόματα ἐπι-

φανῆ

φανῆ ἐστιν ἀκολουθοῦντα. Πρῶτον μὲν τοῦ Σατουρνίνου, περὶ οὗ ἔγραψεν Εἰρηναῖος, ὅτι χριστὸν τὸν σωτῆρα ἡμῶν καὶ ἄνευ τῆς εἰκόνος καὶ οἰομένως κατὰ φαίνοντα ἐδίδαξε, βιβλ. α. κεφ. κβ. Δεύτερον καὶ τοῦ Βασιλίδου, περὶ οὗ Ἐπιφάνιος ἀπομνημονεύει βιβλ. α. Τομ. β. αἱρέσει κδ. ὅτι ἔλεξε, χριστὸν οὐκ εἶναι ἄνθρωπον, μήτε προσειληφέναι σάρκα, μᾶλλον δὲ φαντασίαν αὐτῆς, καὶ λέγεσθαι οὐκ ὄντως, ἀλλὰ κατὰ δόκησιν ἄνθρωπον. Τρίτον ἐστὶ τοῦ Κήρδωνος. Τούτου σμερδαλέως καὶ ἀσεβέως, οὓς ἐποιήσατο, λόγους Αὐγουστῖνος ἐν βίβλῳ περὶ τῶν αἱρέσεων κεφ. κα. ἡμῖν ἀπαγγέλλει, χριστὸν, εἰπόντος, μήτε ἐκ τῆς Μαρίας φῦναι, μήτε ἐσχηκέναι σάρκα, μήτε κατ' ἀλήθειαν τεθνάναι, καὶ πεπαθηκέναι, ἀλλ' ὑποκρίνασθαι τὸ πάθος. Λόγον συγκλείωσιν οἱ Μανιχαῖοι, διδάσκοντες, χριστὸν οὐ τετυχηκέναι ἐν ἀληθεῖ σαρκὶ, ἀλλ' ἐν ἐσχηματισμένῃ καὶ δυνατωτάτῃ τὰς τῶν ἀνθρώπων αἰσθήσεις ἐμπαίζειν, καὶ ταύτῃ μὴ μόνον τὸν θάνατον, ἀλλὰ καὶ τὴν ἀνάστασιν ἐκ τῶν νεκρῶν αὐτὸν ψεύσασθαι.

ε.

Ἵνα δὲ οἱ χριστομάχοι, ἀνόσιοι σφόδρα ἐῤῥωμένως δοκήσωσι λέγοντες, ἑαυτῶν ἀτόπου θρασέως ἐβουλήθησαν ἐπίδειξιν ἄλλοις ποιεῖσθαι. Ταύτην μὲν γὰρ ἐξ ἁγίας τῆς ἐπιστολῆς ἀπὸ Παύλου πρὸς τοὺς Ῥωμαίους δεδομένης κεφ. η. ὁ Θεὸς τὸν ἑαυτοῦ υἱὸν πέμψας ἐν ὁμοιώματι σαρκὸς ἁμαρτίας, καὶ περὶ ἁμαρ-

τίας καθέκρινε τὴν ἁμαρτίαν, ἐν τῇ σαρκί· Παραπλησίως ἐξ ἐπιστολῆς, πρὸς τοὺς Φιλιππησίους πεμφθέσης κεφ. β. Ἑαυτὸν ἐκένωσε, μορφὴν δούλου λαβὼν, ἐν ὁμοιώματι ἀνθρώπων γενόμενος, καὶ σχήματι εὑρεθεὶς ὡς ἄνθρωπος. Τούτων ἕνεκα συνελογίζοντο· ἐάνπερ ὁ Χριστὸς ἐν ὁμοιώματι τῆς σαρκὸς καὶ ὡς ἄνθρωπος κατεφανῇ, ἀναγκαῖόν ἐστιν ἐφέπεσθαι, αὐτοῦ οὐκ οὐσίαν σαρκὸς, ἀλλὰ δὲ μορφήν τινα ἐπιδεδέχθαι. Δῆλον γὰρ τὴν λέξιν ὁμοιώματος μηδαμοῦ σημαίνειν αὐτὴν οὐσίαν ἢ φύσιν ἀμέσως, ἀλλὰ τοῦ ποιοῦ ἐφαρμογὴν, καθάπερ ἐξ ἐπιστολῆς πρὸς τοὺς Ρωμαίους κεφ. α. τούτου πράγματος ἔλεγχον διδόασι· καὶ ἤλλαξαν τὴν δόξαν τοῦ ἀφθάρτου Θεοῦ ἐν ὁμοιώματι εἰκόνος φθαρτοῦ ἀνθρώπου. Καὶ ἕτερά φασι πάντες καθόλου· ὡς Ἄγγελοι, ἐν σώμασι τοῖς ἀνθρωπίνοις φανέντες, οὐκ ἀληθεῖς ἦσαν ἄνθρωποι· οὕτως ὁ Χριστὸς, ἐν τῇ σαρκὶ ὀφθεὶς, σχῆμα μὲν, ἀλλὰ μηδαμῶς τὴν οὐσίαν σώματος παραστῆσαι ἔοικεν.

ζ.

Εἰ δὲ καὶ τούτοις, ἃ παρήγαγον, ἀποφθέγμασιν ἑτερόδοξοι ἐμφανεῖς φῦκος καὶ ἄλειμμα τερατώδεσιν αὐτῶν ἐπιχρίσωσι καταπλάσμασιν, ἀκοπιάστως μέντοιγε ἐκεῖνο ἐκ μέσου ἀναιρεῖσθαι δυνηθήσεται. Τῆς γὰρ ἀληθείας ἀπαύγασμα πᾶσαν τὴν ὁμίχλην τε καὶ τὸ νέφος ψευδολογίας διασείει καὶ διαλύει. Ὕστερον δὲ πρότερον ἄγοντες ἀποκρινόμεθα, καὶ τοῦτο ἐν τοῦ πνεύματος ἁγίου ἀληθείᾳ διωρισμένως λέγοντες, ἄλλο μὲν εἶναι τὴν φανέρωσιν τοῦ Χριστοῦ ἐν τῇ σαρκὶ, ἄλλο δὲ τὴν ἐπιφάνειαν τῶν ἀγγέλων

γέλων ἐν μορφῇ ἀνθρωπίνῃ. Ἡ μὲν γὰρ λέγεται πρόσληψις καὶ ἐνσάρκωσις, ἡ δὲ ἔκφανσις μόνον καὶ δήλωσις. Ἐκ δὲ δὴ τούτου πρόδηλόν ἐστι, τοὺς Ἀγγέλους ἥκιστα πάντων συμπαραλαβεῖν τὴν ἀνθρωπότητα ὑποστατικῶς, ἀλλ᾽ ἐπί τινα χρόνον αὐτοὺς παραστῆσαι σώματι διακονίας ἕνεκα· ὁ δὲ Ἰησοῦς ἐπεδέξατο ἀνθρώπων τὴν φύσιν ὑποστατικῶς, ὥστε τὴν ὑπόστασιν τοῦ Λόγου γενέσθαι τῆς σαρκὸς ὑπόστασιν ἰδίαν. Ἔπειτα οἴδαμεν, Ἀγγέλων τὴν μορφὴν φῦναι ἐν τῷ αἰθέρι, τοῦ δὲ χριστοῦ σῶμα Μαρία ἀειπαρθένος, ἐκ δυνάμεως τοῦ ὑψίστου ἐπισκιασθεῖσα, ἀποκυΐσκουσα ἔτεκε. Πρὸς ῥήματα δ᾽ ἐκ γραφῆς τῆς ἁγίας ἀνηγμένα, ἐρχόμεθα ἀντειπόντες, διάνοιαν τοῦ πνεύματος ἁγίου σφόδρα διαστρεβλοῦσθαι, ἐάνπερ εἰπεῖν βουλώμεθα, διὰ τοῦ ὁμοιώματος τῆς σαρκὸς ἁμαρτίας ἐν τῇ ἐπιστολῇ τῶν Ῥωμαίων σημαίνεσθαι δόκησιν ἐξωτερικὴν ἢ φαντασίαν, ἀλλὰ τοῦτο νοεῖ ὁ Παῦλος, χριστὸν, ἐν ἀληθεῖ σώματι πεμφθῆναι ἀπὸ τοῦ θεοῦ πατρὸς, ἀλλ᾽ ἀναμαρτήτῳ. Ἐνταυθοῖ λέγεσθαι προὔργου ἐστὶ, τὴν δυάδα τῶν ἁγίων τε καὶ σοφωτάτων πατέρων, τῇ μὲν τὸν τὸν Τερτουλλιανὸν (ἐν βίβλῳ περὶ τῆς σαρκὸς χριστοῦ διδάσκοντα· οὐκ ἔστι νόημα, ὡσπερανεὶ χριστὸς ἰδέαν ἢ φαντασίαν σώματος προσλάβῃ καὶ οὐκ ἀληθὲς, ἀλλ᾽ ὁμοιότητα σαρκὸς ἁμαρτανούσης διανοεῖ ὁ παῦλος, ἥτις ἡ σὰρξ τοῦ χριστοῦ ἀναμάρτητος, ἀληθὴς, ἴση καὶ ὁμοία ἦν ταύτῃ σαρκὶ ταῖς ἁμαρτίαις σεσωρευμένῃ) τῇ δὲ τὸν Ἀμβρόσιον ἐν ἐξηγήματι κεφ. η. ἐπιστολῆς τῶν Ῥωμ· οὕτως ἐκφράζοντα τὸ τοῦ Ἀποστόλου ῥηθέν· Τοὔνεκα λέγει ὁ παῦλος ὁμοίαν τὴν σάρκα χριστοῦ, ἐπειδήπερ περὶ μιᾶς ὑπάρξεως καὶ ταύτης ἦν, καὶ ταύτην τὴν γενετὴν εἶχεν. Ἔτι δὲ τὸ ῥηθὲν, ἐξ ἐπιστολῆς πρὸς τοὺς Φιλιππησίους γραφθείσης ἀνηγμένον, τοῦτο

ἡμῖν

ἡμῖν προτίθησι, χριςὸν ἡμῖν ὁμοιοπαθῆ τέτυχηκέναι. Διὸ τὸ σχῆμα ἐκ ἀντιτείνεται τῇ ἀληθείᾳ σαρκὸς, ἀλλὰ μᾶλλον τῷ κύδει τῷ ἠκολεθηκότι, μήτε τὸ σχῆμα τὰς ἀσθενείας καὶ ἀρρωςίας ἀναςάτες ποιεῖ ἐν τῷ χριςῷ, ἀλλὰ μᾶλλον ἐμφατικῶς ταύτας πάσας ἐξηγεῖται. Καὶ ταύτην αἴσθησιν ἀνακαλύπτει ἡμῖν τέλος τὸ τοῦ Παύλε. Αυτὸς γὰρ φιλιππησίοις ἐπὶ ταπεινοφροσύνης ἀρετὴν προεπέτρεψε, χρησάμενος τῷ παραδείγματι χριςοῦ, ὃς ἐν μορφῇ θεοῦ ὑπάρχων ἐχ ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα Θεῷ, ἀλλ' ἑαυτὸν ἐκένωσεν. Ει γοῦν χριςὸς οὐκ ἀληθὴς ἂν εἴη, μήτε τῇ ἀληθεῖ ταπεινότητι πατρὶ αὐτοῦ ὑπακούοιτε, καὶ ὁ Ἀπόςολος πρὸς πεπλασμένην περιτρέψειε τὴν ταπεινότητα· τοῦτο δὲ ἀπροσδιόνυσον φρονεῖν καὶ λέγειν ἂν γένοιτο.

η.

Μέχρι τοῦδε περὶ τούτων διαλελόγαμεν, οἵτινες ἐπ' εὐθείας διαφθείρειν ἐ δεδίασι φρικτὸν τὸ μυςήριον τῆς ἐνσαρκώσεως Σωτῆρος ἡμῶν, καὶ ἄντικρυς εἶπον, τὸν χριςὸν μὴ ἀληθὲς σῶμα ἐνδύσαι. Ἐν τῷ νυνὶ περὶ αὐτῶν ῥήσομεν, οἱ ἐκ πλαγίε τοῦτο ἠρνήσαντο, οἰόμενοι, χριςὸν μὲν σάρκα παραδεδέχθαι, ἀλλ' ἀλλοτρίαν τῆς ἡμετέρας. Οἱ δὲ ἔτω διαγνόντες ἐχ ὁμόψηφοί εἰσιν, ἀλλὰ μερίζονται εἰς δύω τμήματα. Οἱ γε τοῦ πρώτε τμήματος δογματίζονται, χριςὸν ἐδένα χρόνον σάρκα ἐσχηκέναι, ἡμετέρᾳ ἴσην· οἱ δὲ δευτέρε τμήματος αὐθένται ἐνυπνιάσαντο, χριςὸν πρώτως μὲν σάρκα ὁμοούσιον τῇ ἡμετέρᾳ ἐσχηκέναι, ἔπειτα δὲ ἀλλοιῶσαι καὶ τρέψαι αὐτὴν εἰς Θείαν τὴν φύσιν. Τῷ πρώτῳ προσήκεσιν

σιν

σιν οὐαλεντινιανοὶ, μαρτυροῦντος τοῦτο τοῦ Εἰρηναίου ἐν βίβλῳ α. ἀντὶ αἱρέσεων κεφ. α. λέγοντες, χριστὸν διὰ Μαρίας διοδεῦσαι καθάπερ ὕδωρ διὰ σωλῆνος ὁδεύει. Κατάρατος δὲ Εὐτυχῆς ἐδίδασκε, χριστὸν σάρκα οὐκ ἐκ Μαρίας εἰληφέναι, μήτε ἐξ αὐτῆς οὐσίας κυομένην, ἀλλὰ τὸ σῶμα αὐτοῦ οὐρανόθεν ἐνηνοχέναι αὐτόν. Ἄλλοι τοσαύτην ἀσέβειαν ἐξερεύγονται, μὴ νεώτερον εἶναι τὸ σῶμα τῆς τοῦ λόγου θεότητος, ἀλλὰ συναΐδιον αὐτῇ διὰ παντὸς γεγενῆσθαι. Τὸ δεύτερον διατείνει δυστυχὴς ὁ Εὐτυχὴς σφόδρα παρακεκοφὼς τῇ διανοίᾳ, περὶ οὗ γράφει Εὐάγριος ἐν βίβλῳ β. κεφ. δ. ὅτι ἔτυχεν εἰρηκώς· Ὁμολογῶ ἐκ δύω φύσεων γεγενῆσθαι κύριον πρὸ τῆς ἑνώσεως, μετὰ δὲ τὴν ἕνωσιν μίαν φύσιν ὁμολογῶ.

θ.

Πᾶσι τούτοις προβαλλόμεθα τὰ ἀποφθέγματα ἀνεξαπάτητα τοῦ Πνεύματος ἁγίου, ἃ εἰς ἐμφάνειαν ἄγει, χριστὸν μὴ μόνον ἐν τῇ Μαρίᾳ γεννηθῆναι, ἀλλὰ καὶ ἐξ αὐτῆς· οὕτως ὁ Ματθαῖος μαρτυρεῖ κεφ. α. Καὶ Παῦλος γέγραφεν ἐν τῇ ἐπιστολῇ πρὸς τοὺς Γαλάτας πεμφθείσῃ, ὅτε δὲ ἦλθε τὸ πλήρωμα χρόνου, ἐξαπέστειλεν ὁ θεὸς τὸν υἱὸν αὐτοῦ ἐκ γυναικὸς γεννώμενον. Ἐπὶ τὴν γραφὴν ἁγίαν παράγομεν τοῦ Εἰρηναίου ἔλεγχον, οὕτω λέγοντος· εἰ δὲ χριστὸς ἀπ' ἀνθρώπου οὐ προσεδέξατο τῆς σαρκὸς οὐσίαν, μήτε ἄνθρωπος ἐγένετο, μήτε ὁ υἱὸς τοῦ ἀνθρώπου, καὶ ἐάνπερ τοῦτο μὴ ἐγένετο, ὅτι ἡμεῖς ἐσμεν, οὐ περὶ πλείστου τιμῶμεν, ὅτι ἔπαθε. Τῷ δὲ Εὐτυχῆτι ἀποκρινόμεθα, ὕψωσιν τοῦ χριστοῦ καὶ τὸν δοξασμὸν μὴ διαλύειν φύσιν ἀνθρωπίνην, οἷόν τε, ἀλλ' ἐντε-



λεῖν

λεῖν, μήτε ἀναιρεῖν, ἀλλὰ μεγαλύνειν αὐτὴν. Τοὔνεκα ὅταν ἅγια γράμματα μέμνηται μελλούσης ἀφίξεως τοῦ χριστοῦ ὑπερυψωθέντος, ὅμως γε λέγεται ὁ υἱὸς τοῦ ἀνθρώπου ματθ. κδ.

ι.

Ὥσπερ δὲ ἐκ μιᾶς ἀτοπίας πλείονες ἐκφέρονται, ὡσαύτως οἱ ἀνόητοι οὐ μόνον, εἶπον, χριστὸν ἄλλην τῆς ἡμετέρας προσλεληφέναι σάρκα, ἀλλ' ἐνυπνιάσαντο ἢ, τὴν ἀνθρωπίνην φύσιν τοῦ χριστοῦ διὰ ὑποστατικῆς τῆς κοινωνίας γεγενῆσθαι ἀπαθῆ καὶ ἀνάλγητον, καὶ ὡς τὸ τόξευμα οἴχεται παραδρομαδικῶς διὰ ὕδατος, ὥστε μηδενὸς τοῦ τραύματος αἰσθάνεσθαι, οὕτω χριστὸν οὐκ αἰσθέσθαι τῶν ὀδυνῶν ἐν πάθεσιν αὐτοῦ. Μετέπειτα οὗτοι οἱ ταράσσοντες τὴν ἐκκλησίαν ἐδίδαξαν, ἡμᾶς μὲν ἀνθρώπους ἐκ τοῦ ἀναγκαίου τῆς φύσεως λιμῷ πιέζεσθαι, διψᾶν, καὶ ἕτερα τὰ ἐνδεχόμενα πάσχειν, χριστὸν δὲ οὐ τοῦτον τὸν τρόπον δουλεῦσαι ταῖς ἀῤῥωστίαις τε καὶ τοῖς νόμοις φυσικοῖς. Ἀλλὰ ἀναγινώσκομεν ἐν ἁγίᾳ γραφῇ χριστὸν φαγόντα καὶ πιόντα, ἀναγινώσκομεν καὶ αὐτὸν ἀληθῶς πεινῶντα, διψῶντα, καὶ κοιμώμενον. Τίνα οὖν τρόπον ἄφθαρτος καὶ ἀπαθὴς λέγεται; Νῦν δὲ ἡμῖν ἀντιτιθέασι τὸ τοῦ χριστοῦ μετ' ἀνάστασιν αὐτοῦ φάγειν, λέγοντες, ὥσπερ ἐντεῦθεν οὐ λιμοῦ χάριν χριστὸν φαγεῖν, ὡσαύτως καὶ πρὶν ἀναστῆναι αὐτὸν οὐχ ἕνεκα λιμοῦ φαγεῖν. Ἐπίστασθαι μέντοι δεῖ αὐτοὺς, χριστὸν τὴν ὁμοιότητα ἀληθῆ τῆς σαρκὸς μέχρι θανάτου καὶ τοῦ σταυροῦ συντηρῆσαι. Τοιγαροῦν ἐξ ἀνάγκης ἀκολουθεῖ, ὅτι χριστὸς πρὸ τοῦ θανάτου ἀληθῆ τὰ τῶν ἀνθρώπων πάθη

ὄντως,

ὄντως, ὀυδαμῶς κατὰ δόκησιν, ἔχειν. Ἄλλως τε ὀυκ ἂν ἄνθρωπος ἀληθὴς γεννηθείη.

ια.

Καὶ ὁ Ἰουλιανὸς ὁ καῖσαρ τοιοῦτος ἦν, ὥστε τῷ διατάγματι καὶ βίᾳ πάντα τὸν κλῆρον εἰς τὴν γνώμην ἀυτοῦ ἀφελκύειν τολμᾶσαι, ᾧ δὲ Ἀναστάσιος τῆς πίστεως πέτρᾳ ἐπισκηπτόμενος ἶφι ἀντεστάτησε, καὶ ἐπέδειξε, ταῦτα τοὺς Ἀποστόλους γραφῇ παραδεδωκέναι, καὶ τοὺς πατέρας Ἐκκλησίας ἀμεταkινήτως πεπιστευκέναι. Ἀνθ' ὧν συνεβουλεύσατο τοῖς βουλευταῖς ἀυτοῦ ὁ καῖσαρ ὑπὲρ ἐκβολῆς οὕτως ἑαυτῷ ἀνθισταμένου Ἐπισκόπου. Τοῦτο πυθόμενος ὁ Ἀναστάσιος λόγον συνέθη, ᾧ ἐλέγχους, καὶ τὰ τῆς ἁγίας γραφῆς ἀποφθέγματα εὖ ἡρμοσμένα ἐπεσώρευσεν. Ἐν τῷ μεταξὺ χρόνῳ ἐπεὶ Ἰουλιανὸς τὸ τῆς Φυγῆς ἠθέτησε βιβλίδιον, πλήγματι ἀφάντῳ παταχθεὶς τὸν βίον μετήλλαξεν.

ιβ.

Ἐκ πάντων τούτων παρεκφαίνεται ἡ τοῦ σατανᾶ κακία, ἐν τῷ ἀεὶ ἐπιμελῶς ἀνθρώποις ὀρθόδοξον τὴν πίστιν ἢ πάντως ἀφελεῖν, ἢ οἰκτρῶς ἀυτὴν διαφθέρειν. Καὶ τὸ ὕστερον μηδεπώποτε ἐκλενέστερον ἔπραξε, ἢ τούτῳ τῷ δόγματι Ἀφθαρτοδοκητῶν. Εἰ γὰρ τὸν χριστὸν τοὺς ἀνθρώπους ἀναπείσειεν ὑπάρχειν ἀπαθῆ, ἀληθῶς τὴν ἀξιοπιστίαν τῆς ἁγίας γραφῆς λυμαίνοιτο, ψεύδους παραπετάσματι ἐγκυλίσειεν ἂν καὶ σκιάσειε πάντα. Γένοιτο ἂν ψευδολογία, ὅτι χριστὸς ἐπείνασεν ἐν τῇ ἐρήμῳ· ψευδολογία, ὅτι ὀφθεὶς ἀυτῷ ἄγγελος ἀπ' οὐρανοῦ ἐνίσχυσεν ἀυτὸν, καὶ ὅτι γενόμε-

μενος ἐν ἀγωνίᾳ, ὅτι ὁ ἱδρὼς αὐτοῦ ὡσεὶ θρόμβοι αἵματος καταβαίνοντες ἐπὶ τὴν γῆν καθεωρᾶτο. Καὶ τοῦτό φημι, εἰ Χριστὸς οὐκ ἀληθῶς, ἀλλὰ πλαστῶς ὠδίνων τοῦ θανάτου αἴσθοιτο, καὶ τὴν λύτρωσιν ἡμῶν πλασματώδη, μᾶλλον δὲ οὐτιδανὴν προσαγορεῦσαι ἐνδεχόμενον κατασταθείη.

§ γ.

Χαίρειν τοίνυν λέγομεν ἀμφοτέρῳ τῶν ἀλαστόρων, τῶν τῆς ἐν Χαλκηδόνι Συνόδου ἀντιστατῶν, ἑσμῷ. Τῇ μὲν φθαρτολατρῶν, τῇ δὲ Ἀφθαρτοδοκητῶν ἢ φαντασιαστῶν. Ἀποδοκιμαστέον τοὺς φθαρτολάτρας, τὸν Σευῆρον ἅμα τοῖς Ἀρμενιανοῖς, τοῖς Ἀκεφάλοις, τοῖς Ἰακωβίταις, τοῖς Μονοφυσίταις καὶ Θεοπασχίταις, μᾶλλον δὲ καὶ πᾶσι τῶν Μονοθελητῶν ἀρχηγοῖς τε καὶ ἀκολούθοις. Πῶς γὰρ οὐκ ἀμήχανον, τὴν θείαν φύσιν πάσχειν ἢ φθείρεσθαι; Ἀλλ' οὔτε πανάγιον τοῦ Χριστοῦ σῶμα εἶδε φθοράν. Ψεκτέον μετέπειτα καὶ τοῖς λοιποῖς τῶν φθαρτολατρῶν ἀντιπάλοις, τοῖς Ἀφθαρτοδοκήταις, περὶ ὧν ἄλις σκεψαίμεθα πρὸς τὸ παρόν, Κεφάλαιον τῶν λεγομένων. Μέτρον δ' ἐπὶ πᾶσιν ἄριστον. Τὸ πανάγιον τοῦ Σωτῆρος ἡμῶν σῶμα θνητὸν, οὐ τῆς φύσεως, οὔτε τῆς ἁμαρτίας νόμῳ, ἀλλὰ μόνον τῷ τῆς οἰκονομίας καὶ ὑπακοῆς, ὑπὲρ ἡμῶν ἑκουσίως ἀναπεπληρωμένης, λόγῳ καθέστηκε, φθαρτὸν οὐ
καθέστηκεν, ἀλλ' οὐδ' ἄφθαρτον, τουτέστιν ἀναίσθητον
ἤγουν φαντασικὸν, πώποτε
ἐδείχθη.